Ακαδημία Αθηνών / Academy of Athens

**2.** Ὁ χῶρος μεταξὺ γῆς καὶ σελήνης, space between earth and moon, Φιλόλαος A 16 (DK I 403,23) τὸ δ' ὑπὸ τούτοις ὑποσέληνόν τε καὶ περίγειον μέρος, ἐν ᾧ τὰ τῆς φιλομεταβόλου γενέσεως, *ο ὐ ρ α ν ό ν*. Πρβλ. *ὄλυμπος, κόσμος* **3.** Ἀέρας, air, Ἐμπεδοκλῆς 22.2 *ἠλέκτωρ τε χθών τε καὶ ο ὐ ρ α ν ὸ ς ἠδὲ θάλασσα.*

**οὖς.** Αὐτὶ/ἀκοή, ear/hearing, Ἡράκλειτος 101a *ὀφθαλμοὶ γὰρ τῶν ὤ τ ω ν ἀκριβέστεροι μάρτυρες* 107 *κακοὶ μάρτυρες ἀνθρώποισιν ὀφθαλμοὶ καὶ ὦ τ α βαρβάρους ψυχὰς ἐχόντων* Διογένης 6.31 *ἀφ' ἑκατέρας δ' αὐτῶν (*sc. *τῶν φλεβῶν), ᾗ τελευτᾷ, σχίζονται εἰς τὴν κεφαλὴν πολλαί, αἱ μὲν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερά, αἱ δ' ἐκ τῶν ἀριστερῶν εἰς τὰ δεξιά· τελευτῶσι δὲ παρὰ τὸ ο ὖ ς ἑκάτεραι.*

**οὐσία** (συνών. *φύσις*). Οὐσία, substance, Φιλόλαος 11.1-11 *θεωρεῖν δεῖ τὰ ἔργα καὶ τὴν ο ὐ σ ί α ν τῶ ἀριθμῶ καττὰν δύναμιν ἅτις ἐστὶν ἐν τᾷ δεκάδι ... εἰ μὴ ἦς ἀριθμὸς καὶ ἁ τούτω ο ὐ σ ί α.*

**ὀφθαλμός** (συνών. *ὄμμα*). Μάτι, eye, Ἡράκλειτος 101a *ὀ φ θ α λ μ ο ὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες* 107 *κακοὶ μάρτυρες ἀνθρώποισιν ὀ φ θ α λ μ ο ὶ καὶ ὦτα βαρβάρους ψυχὰς ἐχόντων* Ἐμπεδοκλῆς 133.1 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀ φ θ α λ μ ο ῖ σ ι ν ἐφικτὸν ἡμετέροις ἢ χερσὶ λαβεῖν.* Πρβλ. *ὄψις.*

**ὀχεῖν.** Φέρω/χειρίζομαι, bear/handle, Δημόκριτος 173.3 *ἀνθρώποισι κακὰ ἐξ ἀγαθῶν φύεται, ἐπήν τις τἀγαθὰ μὴ 'πιστῆται ποδηγετεῖν μηδὲ ὀ χ ε ῖ ν εὐπόρως.* Πρβλ. *ἔχειν.*

**ὀχεύς.** Σύρτης, loft/bar, Παρμενίδης 1.16 *τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λόγοισιν πεῖσαν ἐπιφραδέως, ὥς σφιν βαλανωτὸν ὀ χ ῆ α ἀπτερέως ὤσειε πυλέων ἄπο.*

**ὄχλησις** (συνών. *ταραχή*). Ἐνόχληση/διαταραχή, trouble/disturbance, Δημόκριτος 212 *ἡμερήσιοι ὕπνοι σώματος ὄ χ λ η σ ι ν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίην ἢ ἀπαιδευσίην σημαίνουσι.*

**ὄψ** (συνών. *ὄψις*). Ὄψη/βλέμμα, sight/look, Ἐμπεδοκλῆς 88 *μία γίγνεται ἀμφοτέρων ὄ ψ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ